## Dactylic hexameter generally:

1 — ⏔ 2 — ⏔ 3 — ⏔ 4 — ⏔ 5 — ⏔ 6 — ⏒ *(but last always scans long)*

## Third foot *masculine* caesura:

1 — ⏔ 2 — ⏔ 3 — / ⏔ 4 — ⏔ 5 — ⏔ 6 — ⏒

*line 1:* μῆνιν ἄεῑδε, θεᾱ́, / Πη̄λη̄ϊάδεω Ἀχιλῆο̄ς,

## Third foot *feminine* caesura:

1 — ⏔ 2 — ⏔ 3 — ⏑ / ⏑ 4 — ⏔ 5 — ⏔ 6 — ⏒

*line 2:* οὐλομένη̄ν, ἣ μῡρί' / Ἀχαιοῖς ἄλγε' ἔθηκε̄ν,

## Fourth foot caesura:

1 — ⏔ 2 — ⏔ 3 — ⏔ 4 — / ⏔ 5 — ⏔ 6 — ⏒

*line 106:* μάντι κακῶν, οὔ πώ ποτέ μοῑ / τὸ κρήγυον εἶπε̄ς·

## Bucolic diaresis:

1 — ⏔ 2 — ⏔ 3 — ⏔ 4 — ⏔ / 5 — ⏔ 6 — ⏒

*line 2:* οὐλομένη̄ν, ἣ μῡρί' Ἀχαιοῖς / ἄλγε' ἔθηκε̄ν,

1. μῆνιν ἄϵῑδϵ, θϵά, / Πηλη̄ϊάδϵω͜ Ἀχιλῆοϲ,

2. οὐ̄λομένη̄ν, ἣ μῡρί' / Ἀχαῑοῖϲ / ἄλγϵ' ἔθη̄κϵ̄ν,

3. πο̄λλὰϲ δ' ἰφθί̄μοῡϲ / ψῡχὰϲ Ἄϊδῑ προΐα̅ψϵ̄ν

4. ἡρώω̄ν, αὐ̄τοὺϲ δὲ / ἑλώρια / τϵῦχϵ κύνϵ̄ϲϲῑν

5. οἰω̄νοῖϲί τϵ πᾶϲι, / Διὸϲ δ' ἐτϵλϵίϵτο βοῡλή,

6. ἐξ οὗ δὴ τὰ πρῶτα / διαϲτήτη̄ν ἐρίϲᾱντϵ̄

7. ¯Ἀτρϵίδη̄ϲ τϵ ἄνᾱξ / ἀνδρῶν καὶ / δῖοϲ Ἀχῑλλϵύϲ.

8. τίϲ τάρ ϲφω̄ϵ θϵῶν / ἔριδῑ ξυνέη̄κϵ μάχϵ̄ϲθαῑ;

9. Λητοῦϲ καὶ Διὸϲ υἱόϲ· / ὃ γὰρ βαϲιλῆϊ χολω̄θϵίϲ

10. νοῦϲον ἀνὰ ϲτρατὸν ὦρϲϵ / κακήν, ὀλέκο̄ντο δὲ λᾱοί,

11. οὕνϵκα τὸν Χρύϲη̄ν / ἠτί̄μαϲϵν / ἀρητῆρᾱ

12. ¯Ἀτρϵίδηϲ. ὃ γὰρ ἦλθϵ / θοὰϲ ἐπὶ / νῆαϲ Ἀχαιῶν

13. λῡϲόμϵνόϲ τϵ θύγᾱτρα / φέρω̄ν τ' ἀπϵρϵίϲι' ἄποῑνᾱ,

14. ϲτέμματ' ἔχω̄ν ἐν χϵ̄ρϲὶν / ἑκη̄βόλου / ¯Ἀπόλλω̄νοϲ

15. χρῡϲέω͜ι ἀνὰ ϲκήπτρω͜ι, / καὶ λίϲϲϵτο / πάνταϲ Ἀχαιούϲ,

16. ¯Ἀτρϵίδᾱ δὲ μάλῑϲτα / δύω̄, κο̄ϲμήτορϵ λᾱῶν·

17. ¯Ἀτρϵῖδαί τϵ καὶ ἄλλοι / ἐϋκνήμῑδϵϲ Ἀχαιοί,

18. ὑμῖν μὲν θϵ͜οὶ δοῖϵν / Ὀλύμπια / δώματ' ἔχο̄ντϵ̄ϲ

19. ἐκπέρϲαῑ Πριάμοῑο / πόλῑν, ϵὖ δ' / οἴκαδ' ἱκέϲθαῑ·

20. παῖδα δ' ἐμοὶ λῦϲαῖτϵ / φίλη̄ν, τὰ δ' ἄποῑνα δέχϵ̄ϲθαῑ,

21. ἁζόμϵνοῑ Διὸϲ υἱὸν / ἑκη̄βόλον / ¯Ἀπόλλω̄νᾱ.

22. ἔνθ' ἄλλοῑ μὲν πάντεϲ / ἐπεῡφήμηϲαν Ἀχαῑοί,

23. αἰδεῖϲθαῑ θ' ἱερῆα / καὶ ἀγλαὰ / δέχθαι ἄποῑνᾱ·

24. ἀλλ' οὐκ ¯Ἀτρεΐδη͜ι / Ἀγαμέμνονι / ἥνδανε θῡμῷ͜ι,

25. ἀλλὰ κακῶϲ ἀφίεῑ, / κρατερὸν δ' ἐπὶ / μῦθον ἔτελλεν·

26. μή ϲε, γέρōν, κοΐλη͜ιϲιν / ἐγὼ παρὰ / νη͜υϲὶ κιχείω

27. ἢ νῦν δηθῡ́νōντ' / ἤ' ὕϲτερον / αὖτιϲ ἰόντᾱ,

28. μή νύ τοι οὐ χραΐϲμη͜ι / ϲκῆπτρōν καὶ / ϲτέμμα θεοῖō.

29. τὴν δ' ἐγὼ οὐ λύϲω· / πρὶν μῑν καὶ / γῆραϲ ἔπεῑϲῑν

30. ἡμετέρῳ͜ι ἐνὶ οἴκω͜ι, / ἐν ¯Ἄργεϊ, / τηλόθι πάτρηϲ,

31. ἱϲτὸν ἐποῑχομένην / καὶ ἐμὸν λέχοϲ ἀντιόωϲᾱν.

32. ἀλλ' ἴθι, μή μ' ἐρέθῑζε, / ϲαώτεροϲ / ὥϲ κε νέηαῑ.

33. ὣϲ ἔφατ'· ἔδδεῑϲεν δ' / ὁ γέρων καὶ ἐπείθετο μύθω͜ι,

34. βῆ δ' ἀκέων παρὰ θῖνα / πολῡφλοίϲβοῑο θαλάϲϲηϲ.

35. πōλλὰ δ' ἔπεῑτ' ἀπάνεῡθε / κιὼν ἠρᾶθ' ὁ γεραῑόϲ

36. ¯Ἀπόλλωνι ἄνᾱκτι, / τὸν ἠΰκομōϲ τέκε Λητώ·

37. κλῦθί μοι, ¯Ἀργυρότōξ', / ὃϲ Χρῡ́ϲην / ἀμφιβέβηκᾱϲ

38. Κΐλλᾱν τε ζαθέην, / Τενέδοιό τε / ἶφι ἀνάϲϲεῑϲ,

39. Ϲμῑνθεῦ· εἴ ποτέ τοῑ / χαρίεντ' ἐπὶ / νηὸν ἔρεψᾱ,

40. ἤ' εἰ δή ποτέ τοῑ / κατὰ πίονα / μηρί' ἔκηᾱ

41. ταύρων ἠδ' αἰγῶν, / τόδε μοῑ κρήηνον ἐέλδωρ·

42. τείϲεῑᾱν Δαναοὶ / ἐμὰ δάκρυα / ϲοῖϲι βέλεϲϲῑν.

43. ὣϲ ἔφατ' εὐχόμενōϲ, / τοῦ δ' ἔ̄κλυε / Φοῖβοϲ Ἀπό̄λλων,

44. βῆ δὲ κατ' Οὐλῡ́μποιō / καρήνων χω̄όμενōϲ κῆρ,

45. τό̄ξ' ὤμοιϲιν ἔχων / ἀμφηρεφέᾱ τε φαρέ̄τρην·

46. ἔ̄κλᾱγξᾱν δ' ἄρ' ὀϊϲτοὶ / ἐπ' ὤμων / χω̄ομένοιō,

47. αὐτοῦ κῑνηθέ̄ντοϲ· / ὁ δ' ἤϊε / νῡκτὶ ἐοικώϲ.

48. ἕ̄ζετ' ἔπειτ' ἀπάνεῡθε / νεῶν, μετὰ δ' / ἰὸν ἕ̄ηκεν,

49. δεινὴ δὲ κλᾱγγὴ / γένετ' ἀργυρέοιō βιοῖō.

50. οὐρῆᾱϲ μὲν πρῶτον / ἐπῴχετο / καὶ κύναϲ ἀργούϲ,

51. αὐτὰρ ἔπειτ' αὐτοῖϲι / βέλōϲ ἐχεπεῡκὲϲ ἐφῑείϲ

52. βάλλ'· αἰεὶ δὲ πυραὶ / νεκύων καίōντο θαμειαί.

53. ἐννῆμᾱρ μὲν ἀνὰ / ϲτρατὸν ᾤχετο / κῆλα θεοῖō,

54. τῆι δεκάτηι δ' ἀγορήνδε / καλέϲϲατο / λᾱὸν Ἀχῑλλεύϲ·

55. τῷ γὰρ ἐπὶ φρεϲὶ θῆκε / θεὰ λεῡκώλενοϲ ¯Ἥρη·

56. κήδετο γὰρ Δαναῶν, / ὅτι ῥᾱ θνῄϲκōνταϲ ὁρᾶτō.

57. οἳ δ' ἐπεὶ οὖν ἤγε̄ρθεν / ὁμηγερέεϲ τ' ἐγένōντō,

58. τοῖϲι δ' ἀνῑϲτάμενōϲ / μετέφη πόδαϲ / ὠκὺϲ Ἀχῑλλεύϲ·

59. ¯Ἀτρεΐδη, νῦν ἄμμε / πάλῑν πλᾱγχθέ̄νταϲ ὀΐω

60. ἂψ ἀπονōϲτήϲειν, / εἴ κε̄ν θάνατό̄ν γε φύγοιμε̄ν,

61. εἰ δὴ ὁμοῦ πόλεμόϲ τε / δαμᾷ καὶ / λοιμὸϲ Ἀχαιούϲ.

62. ἀλλ' ἄγε δή τινα μάντιν / ἐρείομεν / ἤ' ἱερῆᾱ,

63. ἢ καὶ ὀνειροπόλōν, / καὶ γάρ τ' ὄναρ / ἐκ Διόϲ ἐ̄ϲτῑν,

64. ὅϲ κ' εἴποῑ ὅ τι τόϲϲον / ἐχώϲατο / Φοῖβοϲ Ἀπο̄́λλω̄ν,

65. εἴ ταρ ὅ γ' εὐχω̄λῆϲ / ἐπιμέμφεται / ἦδ' ἑκατόμβηϲ,

66. αἴ κέν πω̄ϲ ἀρνῶν / κνίϲηϲ αἰγῶν τε τελείω̄ν

67. βούλη̄τ' ἀντιάϲᾱϲ / ἡμῖν ἀπὸ / λοιγὸν ἀμῦναῑ.

68. ἤτοι ὅ γ' ὣϲ εἰπὼν / κατ' ἄρ' ἕζετο· / τοῖϲι δ' ἀνέϲτη̄

69. Κάλχᾱϲ Θε̄ϲτορίδηϲ, / οἰω̄νοπόλω̄ν ὄχ' ἄρῑϲτο̄ϲ,

70. ὃϲ εἴδη̄ τά τ' ἐόντα / τά τ' ἐϲϲόμενᾱ πρό τ' ἐόντᾱ,

71. καὶ νήε̄ϲϲ' ἡγήϲατ' / Ἀχαιῶν / ¯Ἴλιον εἴϲω̄

72. ἣν διὰ μᾱντοϲύνη̄ν, / τήν οἱ πόρε / Φοῖβοϲ Ἀπόλλω̄ν.

73. ὅ ϲφιν ἔῡ φρονέω̄ν / ἀγορήϲατο / καὶ μετέειπε̄ν·

74. ὦ Ἀχιλεῦ, κέλεαί με, / διίφιλε, / μῡθήϲᾱϲθαῑ

75. μῆνιν Ἀπόλλω̄νο̄ϲ / ἑκατη̄βελέτᾱο ἄνᾱκτο̄ϲ.

76. τοὶ γὰρ ἐγὼν ἐρέω̄, / ϲὺ δὲ ϲύνθεο / καί μοι ὄμο̄ϲϲο̄ν

77. ἦ μέν μοῑ πρόφρω̄ν / ἔπεϲῑν καὶ / χε̄ρϲὶν ἀρήξεῑν·

78. ἦ γὰρ ὀίομαι ἄνδρα / χολω̄ϲέμεν, / ὃϲ μέγα πάντω̄ν

79. ¯Ἀργείω̄ν κρατέεῑ / καί οἱ πείθο̄νται Ἀχαιοί.

80. κρέϲϲω̄ν γὰρ βαϲιλεύϲ, / ὅτε χώϲεται / ἀνδρὶ χέρη̄ῑ·

81. εἴ πε̄ρ γάρ τε χόλο̄ν γε / καὶ αὐτῆμᾱρ καταπέψη̄ι,

82. ἀλλά τε καὶ μετόπῑϲθεν / ἔχεῑ κότον, / ὄφρα τελέϲϲη̄ι,

83. ἐν ϲτήθε̄ϲϲιν ἑοῖϲι. / ϲὺ δὲ φράϲαι / εἴ με ϲαώϲεῑϲ.

84. τὸν δ' ἀπαμειβόμενο̄ϲ / προϲέφη̄ πόδαϲ / ὠκὺϲ Ἀχῑλλεύϲ·

85. θᾱρϲήϲᾱϲ μάλα εἰπὲ / θεο̄πρόπιο̄ν ὅ τι οἶϲθᾱ·

86. οὐ μὰ γὰρ ¯Ἀπο̄́λλω̄να / διῑ́φιλον, / ὧι τε ϲύ, Κάλχᾱν,

87. εὐ̄χόμενο̄ϲ Δαναοῖϲι / θεο̄προπίᾱϲ ἀναφαῑ́νεῑϲ,

88. οὐ̄ τιϲ ἐμέο̄ ζῶντο̄ϲ / καὶ ἐπῑ̀ χθονὶ / δε̄ρκομένοῑο̄

89. ϲοῑ̀ κοίλῃϲ παρὰ νηυϲὶ / βαρεῑ́ᾱϲ / χεῖραϲ ἐποῑ́ϲεῑ

90. ϲῡμπάντω̄ν Δαναῶν, / οὐ̄δ' ἢν Ἀγαμέμνονα εἴπῃϲ,

91. ὃϲ νῦν πο̄λλὸν ἄρῑϲτοϲ / ἐνῑ̀ ϲτρατῶι / εὔχεται εἶναῑ.

92. καῑ̀ τότε δὴ θᾱ́ρϲη̄ϲε / καὶ ηὔδᾱ / μᾱ́ντιϲ ἀμῡ́μω̄ν·

93. οὔτ' ἄρ' ὅ γ' εὐ̄χω̄λῆϲ / ἐπιμέμφεται / οὐ̄δ' ἑκατο̄́μβηϲ,

94. ἀλλ' ἕνεκ' ἀρη̄τῆροϲ, / ὃν ἠτῑ́μηϲ' Ἀγαμέμνω̄ν

95. οὐ̄δ' ἀπέλῡϲε θύγᾱτρα / καὶ οὐ̄κ ἀπεδέ̄ξατ' ἄποῑνᾱ,

96. τοὔνεκ' ἄρ' ἄλγε' ἔδω̄κεν / Ἑκη̄βόλοϲ, / ἠδ' ἔτι δώϲεῑ·

97. οὐ̄δ' ὅ γε πρῑ̀ν λοῑμοῖο / βαρεῑ́ᾱϲ / χεῖραϲ ἀφέ̄ξεῑ,

98. πρῑ́ν γ' ἀπὸ πᾱτρὶ φίλωι / δόμεναῑ ἑλικώπιδα κοῦρη̄ν

99. ἀπριάτη̄ν ἀνάποῑνον, / ἄγεῑν θ' ἱερὴ̄ν ἑκατο̄́μβη̄ν

100. ἐ̄ϲ Χρῡ́ϲη̄ν· τότε κέ̄ν μιν / ἱλᾱϲϲάμενοῑ πεπίθοῑμε̄ν.

101. ἤτοι ὅ γ' ὣϲ εἰπὼν / κατ' ἄρ' ἕ̄ζετο· / τοῖϲι δ' ἀνέ̄ϲτη̄

102. ἥρω̄ϲ ¯Ἀτρεῑ́δη̄ϲ, / εὐ̄ρὺ̄ κρεῑ́ω̄ν Ἀγαμέμνω̄ν,

103. ἀχνύμενο̄ϲ· μένεο̄ϲ δὲ / μέγᾱ φρένεϲ / ἀμφὶ μέλαῑναῑ

104. πῑ́μπλᾱντ', ὄϲϲε δέ οἱ / πυρὶ λᾱμπετόω̄ντι ἐί̄κτη̄ν.

105. Κάλχᾱντᾱ πρώ̄τῑϲτα / κάκ' ὀϲϲόμενο̄ϲ προϲέειπε̄ν·

106. μάντι κακῶν, οὔ πώ ποτέ μοῑ / τὸ / κρήγυον εἶπε̄ϲ·

107. αἰεί τοῑ τὰ κάκ' ἔϲτὶ / φίλᾱ φρεϲὶ / μᾱντεύε̄ϲθαῑ,

108. ἐ̄ϲθλὸ̄ν δ' οὔτέ τί πω̄ / εἶπε̄ϲ ἔποϲ / οὐ̄δ' ἐτέλε̄ϲϲᾱϲ.

109. καὶ̄ νῦ̄ν ἐ̄ν Δαναοῖϲι / θεο̄προπέω̄ν ἀγορεύ̄εῑϲ,

110. ὡ̂ϲ δὴ τοῦδ' ἕνεκά ϲφιν / Ἑκη̄βόλοϲ / ἄλγεα τεύ̄χεῑ,

111. οὕνεκ' ἐγὼ κούρη̄ϲ / Χρῡϲηΐδοϲ / ἀγλά' ἄποῑνᾱ

112. οὐ̄κ ἔθελο̄ν δέξᾱϲθαι, / ἐπεὶ̄ πολὺ / βούλομαι αὐτήν

113. οἴκοι ἔχεῑν· καὶ̄ γάρ ῥα / Κλυταῑμήϲτρη̄ϲ προβέβουλᾱ

114. κουριδίη̄ϲ ἀλόχοῡ, / ἐπεὶ οὔ ἑθέν / ἔϲτι χερείω̄ν,

115. οὐ̄ δέμαϲ οὐ̄δὲ φυήν, / οὔτ' ἂ̄ρ φρέναϲ / οὔτέ τι ἔ̄ργᾱ.

116. ἀλλὰ καὶ ὣ̂ϲ ἐθέλω̄ / δόμεναῑ πάλιν, / εἰ̄ τό γ' ἄμεῑνο̄ν·

117. βούλομ' ἐγὼ λᾱὸν / ϲόον ἔ̄μμεναι / ἢ' ἀπολέϲθαῑ.

118. αὐ̄τὰρ ἐμοὶ̄ γέραϲ αὐ̄τίχ' / ἑτοῑμάϲατ', / ὄ̄φρα μὴ οἶ̂οϲ

119. ¯Ἀργείω̄ν ἀγέρᾱϲτοϲ / ἔω̄, ἐπεὶ / οὐ̄δὲ ἔοῑκε̄ν·

120. λεύϲϲετε γὰ̄ρ τό γε πάντεϲ, / ὅ μοῑ γέραϲ / ἔ̄ρχεται ἄ̄λλῃ.

121. τὸ̄ν δ' ἠ̄μείβετ' ἔπεῑτα / ποδάρκη̄ϲ / δῖοϲ Ἀχῑλλεύϲ·

122. ¯Ἀτρείδη̄ κύδῑϲτε, / φιλο̄κτεανώτατε πάντω̄ν,

123. πῶϲ τάρ τοῑ δώϲουϲι / γέρᾱϲ μεγάθῡμοι Ἀχαῑοί;

124. οὐ̄δέ τί ποῡ ἴδμε̄ν / ξῡνήϊα / κείμενα πο̄λλά·

125. ἄ̄λλὰ τὰ μὲν πολίω̄ν / ἐ̄ξε̄πράθομε̄ν, τὰ δέδᾱϲταῑ,

126. λᾱοὺϲ δ' οὐ̄κ ἐπέοῑκε / παλῑλλογα / ταῦτ' ἐπαγείρεῑν.

127. ἀλλὰ ϲὺ μὲν νῦν τήνδε / θεῶι‿ πρόεϲ· / αὐτὰρ Ἀχαῑοί

128. τρῑπλῆι‿ τετρᾱπλῆι‿ τ' / ἀποτείϲομεν, / αἴ κέ ποθῑ Ζεὺϲ

129. δῶϲι πόλῑν Τροΐην / εὐτείχεον / ἐξαλαπάξαῑ.

130. τὸν δ' ἀπαμειβόμενοϲ / προϲέφη κρείων Ἀγαμέμνων·

131. μὴ δὴ‿οὕτωϲ, ἀγαθόϲ περ / ἐών, θεοείκελ' Ἀχῑλλεῦ,

132. κλέπτε νόωι‿, ἐπεὶ οὐ / παρελεύϲεαι / οὐδέ με πείϲειϲ.

133. ἦ ἐθέλειϲ, ὄφρ' αὐτὸϲ / ἔχηιϲ‿ γέραϲ, / αὐτὰρ ἔμ' αὔτωϲ

134. ἧϲθαῑ δευόμενον, / κέλεαῑ δέ με / τήνδ' ἀποδοῦναῑ;

135. ἀλλ' εἰ μὲν δώϲουϲι / γέρᾱϲ μεγάθῡμοι Ἀχαῑοί,

136. ἄρϲᾱντεϲ κατὰ θῡμόν, / ὅπωϲ ἀντάξιον ἔϲταῑ·

137. εἰ δέ κε μὴ δώωϲιν, / ἐγὼ δέ κεν / αὐτὸϲ ἕλωμαῑ

138. ἢ τεὸν ἢ' Αἴᾱντοϲ / ἰὼν γέραϲ, / ἢ' Ὀδυϲῆοϲ

139. ἄξω ἑλών· ὃ δέ κεν / κεχολώϲεται / ὅν κεν ἵκωμαῑ.

140. ἀλλ' ἤτοι μὲν ταῦτα / μεταφραϲόμεϲθα καὶ αὖτιϲ,

141. νῦν δ' ἄγε νῆα μέλαῑναν / ἐρύϲϲομεν / εἰϲ ἅλα δῖαν,

142. ἐν δ' ἐρέτᾱϲ ἐπιτηδὲϲ / ἀγείρομεν, / ἐϲ δ' ἑκατόμβην

143. θείομεν, ἂν δ' αὐτὴν / Χρῡϲηΐδα / κᾱλλιπάρηον

144. βήϲομεν· εἷϲ δέ τιϲ ἀρχὸϲ / ἀνὴρ βουληφόροϲ ἔϲτω,

145. ἢ' Αἴᾱϲ ἢ' Ἰδομενεὺϲ / ἢ / δῖοϲ Ὀδῡϲϲεύϲ,

146. ἠὲ ϲύ, Πηλείδη, / πάντων ἐκπᾱγλότατ' ἀνδρῶν,

147. ὄφρ' ἥμῑν Ἑκάεργον / ἱλάϲϲεαι / ἱερὰ ῥέξᾱϲ.

148. τὸν δ' ἄρ' ὑπό̄δρα ἰδὼν / προϲέφη̄ πόδαϲ / ὠκὺϲ Ἀχῑλλεύϲ·

149. ὤ̄ι μοι, ἀναῑδεί̄ην / ἐπιεῑμένε, / κε̄ρδαλεό̄φρο̄ν,

150. πῶϲ τί̄ϲ τοῑ πρό̄φρω̄ν / ἔπεϲῑν πεί̄θη̄ται Ἀχαῑῶν,

151. ἢ' ὁδὸν ἐ̄λθέμεναῑ / ἢ' ἀ̄νδράϲιν / ῑ̂φι μάχε̄ϲθαῑ;

152. οὐ̄ γὰρ ἐγὼ Τρώ̄ω̄ν / ἕνεκ' ἤ̄λυθον αἰ̄χμη̄τά̄ω̄ν

153. δεῦρο μαχῆϲόμενο̄ϲ, / ἐπεὶ οὔ̄ τί μοι / αἴ̄τιοί εἰ̄ϲῑν·

154. οὐ̄ γὰρ πώ̄ ποτ' ἐμὰϲ / βοῦϲ ἤ̄λαϲαν / οὐ̄δὲ μὲν ἵ̄πποῡϲ,

155. οὐ̄δέ ποτ' ἐ̄ν Φθί̄η̄ι / ἐριβώ̄λακι / βω̄τιανεί̄ρη̄ι

156. κᾱρπὸν ἐδη̄λή̄ϲᾱντ', / ἐπεὶ ἦ̄ μάλα / πο̄λλὰ μετᾱξύ̄,

157. οὔ̄ρεά τε̄ ϲκιόε̄ντα / θάλᾱϲϲά τε / ἠ̄χή̄εϲϲᾱ.

158. ἀ̄λλὰ ϲοί, ὦ̄ μέγ' ἀναῑδέϲ, / ἅ̄μ' ἑ̄ϲπόμεθ', / ὄ̄φρα ϲὺ χαί̄ρη̄ιϲ,

159. τῑμὴν ἀ̄ρνύμενοῑ / Μενελά̄ω̄ι / ϲοί̄ τε, κυνῶπᾱ,

160. πρὸ̄ϲ Τρώ̄ω̄ν· τῶν οὔ̄ τι / μετᾱτρέπε' / οὐ̄δ' ἀλεγί̄ζεῑϲ.

161. καὶ̄ δή̄ μοῑ γέραϲ αὐ̄τὸϲ / ἀφαῑρή̄ϲε̄ϲθαι ἀπεῑλεῖϲ,

162. ὧ̄ι ἔπι πό̄λλ' ἐμόγη̄ϲα, / δόϲᾱν δέ μοι / υἷ̄εϲ Ἀχαῑῶν.

163. οὐ̄ μὲ̄ν ϲοί̄ ποτε ῑ̂ϲον / ἔχω̄ γέραϲ, / ὁ̄ππότ' Ἀχαῑοί̄

164. Τρώ̄ω̄ν ἐ̄κπέ̄ρϲῶϲ' / εὖ̄ ναῑόμενο̄ν πτολίε̄θρο̄ν,

165. ἀ̄λλὰ τὸ μὲ̄ν πλεῖο̄ν / πολυά̄ῑκο̄ϲ πολέμοιο̄

166. χεῖρεϲ ἐμαὶ̄ διέποῡϲ', / ἀτὰρ ἤ̄ν ποτε / δᾱϲμὸϲ ἵ̄κη̄ταῑ,

167. ϲοὶ̄ τὸ γέρᾱϲ πολὺ̄ μέ̄ζον, / ἐγὼ δ' ὀλίγο̄ν τε φίλο̄ν τε̄

168. ἔ̄ρχομ' ἔχω̄ν ἐπὶ̄ νῆαϲ, / ἐπεί̄ κε κάμω̄ πολεμί̄ζω̄ν.

169. νῦν δ' εἶμῑ Φθίηνδ', / ἐπεὶ ἦ πολὺ / φέρτερόν ἐϲτῑν

170. οἴκαδ' ἴμε̄ν ϲὺν νη͜υϲὶ / κορωνίϲιν, / οὐδέ ϲ' ὀΐω

171. ἐνθάδ' ἄτῑμοϲ ἐὼν / ἄφενο̄ϲ καὶ / πλοῦτον ἀφῦξειν.

172. τὸν δ' ἠμείβετ' ἔπειτα / ἄναξ ἀνδρῶν Ἀγαμέμνων·

173. φεῦγε μάλ', εἴ τοῑ θῡμὸϲ / ἐπέϲϲυται· / οὐδέ ϲ' ἐγώ γε̄

174. λίϲϲομαι εἵνεκ' ἐμεῖο / μένειν· πάρ' ἐμοί γε καὶ ἄλλοῑ

175. οἵ κέ με τῑμήϲουϲι, / μάλῑϲτα δὲ / μητίετᾱ Ζεύϲ.

176. ἔχθῑϲτο̄ϲ δέ μοί ἐϲϲι / διο̄τρεφέων βαϲιλήων·

177. αἰεὶ γάρ τοι ἔρῑϲ τε / φίλη πόλεμοί τε μάχαῑ τε̄.

178. εἰ μάλα κᾱρτερόϲ ἐϲϲι, / θεο̄ϲ ποῡ / ϲοὶ τό γ' ἔδω̄κε̄ν.

179. οἴκαδ' ἰὼν ϲὺν νη͜υϲί τε ϲῇϲ / καὶ / ϲοῖϲ ἑτάροιϲῑν

180. Μῡρμιδόνε̄ϲϲιν ἄνᾱϲϲε· / ϲέθε̄ν δ' ἐγὼ / οὐκ ἀλεγίζω̄

181. οὐδ' ὄθομαῑ κοτέο̄ντοϲ. / ἀπειλήϲω̄ δέ τοι ὧδε̄·

182. ὣϲ ἔμ' ἀφαῑρεῖταῑ / Χρῡϲηΐδα / Φοῖβοϲ Ἀπο̄λλων,

183. τὴν μὲν ἐγὼ ϲὺν νηΐ τ' / ἐμῇ καὶ ἐμοῖϲ ἑτάροιϲῑν

184. πέμψω· ἐγὼ δέ κ' ἄγω̄ / Βρῑϲηΐδα / κᾱλλιπάρηο̄ν

185. αὐτὸϲ ἰὼν κλιϲίηνδε, / τεὸν γέραϲ, / ὄφρ' εὖ εἰδῇϲ

186. ὅϲϲο̄ν φέρτερόϲ εἰμι / ϲέθε̄ν, ϲτυγέῃ δὲ καὶ ἄλλο̄ϲ

187. ἶϲον ἐμοὶ φάϲθαῑ / καὶ ὁμοῑω̄θήμεναι ἄντην.

188. ὣϲ φάτο· Πηλεΐωνι δ' / ἄχο̄ϲ γένετ', / ἐν δέ οἱ ἦτο̄ρ

189. ϲτήθε̄ϲϲῑν λαϲίοιϲι / διάνδιχα / με̄ρμήρῑξε̄ν,

190. ἤ' ὅ γε φάϲγανον ὀξὺ / ἐρῡϲϲάμενōϲ παρὰ μηροῦ

191. τοὺϲ μὲν ἀνᾱϲτήϲειεν, / ὃ δ' ¯Ἀτρεΐδην ἐναρίζοι,

192. ἦε χόλōν παύϲειεν / ἐρητύϲειέ τε θῡμόν.

193. {ἕωϲ} ὃ ταῦθ' ὥρμαινε / κατὰ φρένα / καὶ κατὰ θῡμόν,

194. εἵλκετο δ' ἐκ κολεοῖο / μέγᾱ ξίφοϲ, / ἦλθε δ' Ἀθήνη

195. οὐρανόθεν· πρὸ γὰρ ἧκε / θεὰ λευκώλενοϲ ¯Ἥρη,

196. ἄμφω ὁμῶϲ θῡμῶι / φιλέουϲά τε / κηδομένη τε.

197. ϲτῆ δ' ὄπιθεν, ξᾱνθῆϲ δὲ / κόμηϲ ἕλε / Πηλεΐωνᾱ,

198. οἴωι φαινομένη, / τῶν δ' ἄλλων / οὔ τιϲ ὁρᾶτō.

199. θάμβηϲεν δ' Ἀχιλεύϲ, / μετὰ δ' ἐτράπετ'· / αὐτίκα δ' ἔγνω

200. Πᾱλλάδ' Ἀθηναίην· / δεινὼ δέ οἱ / ὄϲϲε φάᾱνθεν.

201. καί μιν φωνήϲᾱϲ / ἔπεᾱ πτερόεντᾱ προϲηύδᾱ·

202. τίπτ' αὖτ', αἰγιόχοιο / Διὸϲ τέκοϲ, / εἰλήλουθαϲ;

203. ἦ ἵνα ὕβριν ἴδηι' / Ἀγαμέμνονοϲ / ¯Ἀτρεΐδᾱō;

204. ἀλλ' ἔκ τοι ἐρέω, / τὸ δὲ καὶ τελέεϲθαι ὀΐω·

205. ἧιϲ ὑπεροπλίηιϲι / τάχ' ἄν ποτε / θῡμὸν ὀλέϲϲηι.

206. τὸν δ' αὖτε προϲέειπε / θεὰ γλαυκῶπιϲ Ἀθήνη·

207. ἦλθον ἐγὼ παύϲουϲα / τεὸν μένοϲ, / αἴ κε πίθηαι,

208. οὐρανόθεν· πρὸ δέ μ' ἧκε / θεὰ λευκώλενοϲ ¯Ἥρη,

209. ἄμφω ὁμῶϲ θῡμῶι / φιλέουϲά τε / κηδομένη τε.

210. ἀλλ' ἄγε λῆγ' ἔριδōϲ, / μηδὲ ξίφοϲ / ἕλκεο χειρί·

211. ἀλλ' ἤτοῑ ἔπεϲῑν μὲν / ὀνείδιϲον, / ὡϲ ἔϲεταῑ πε̄ρ.

212. ὧδε γὰρ ἐ̄ξερέω̄, / τὸ δὲ καὶ̄ τετελε̄ϲμένον ἔ̄ϲταῑ·

213. καί̄ ποτέ τοῑ τρὶ̄ϲ τόϲϲα / παρέ̄ϲϲεται / ἀ̄γλαὰ δῶρᾱ

214. ὕ̄βριοϲ εἵ̄νεκα τῆϲδε· / ϲὺ δ' ἴ̄ϲχεο, / πείθεο δ' ἡ̄μῖν.

215. τὴν δ' ἀπαμεῑβόμενο̄ϲ / προϲέφη̄ πόδαϲ / ὠκὺϲ Ἀχῑλλεύ̄ϲ·

216. χρὴ̄ με̄̀ν ϲφωΐ̄τερόν γε, / θεά̄, ἔποϲ / εἰ̄ρύ̄ϲϲᾱϲθαῑ,

217. καὶ̄ μάλα πε̄ρ θῡμῶι / κεχολω̄μένον· / ὣϲ γὰρ ἄμεῑνο̄ν.

218. ὅ̄ϲ κε θεοῖϲ ἐπιπείθη̄ταῑ, / μάλα τ' / ἔ̄κλυον αὐ̄τοῦ.

219. ἦ̄, καὶ ἐπ' ἀ̄ργυρέῃ / κώπῃ ϲχέθε / χεῖρα βαρεῖᾱν,

220. ἂ̄ψ δ' ἐ̄ϲ κοῡλεὸν ὦ̄ϲε / μέγᾱ ξίφοϲ, / οὐ̄δ' ἀπίθη̄ϲε̄ν

221. μύ̄θωι Ἀθη̄ναίη̄ϲ· / ἡ̄ δ' Οὔ̄λῡμπόνδε βεβήκεῑ

222. δῶματ' ἐϲ αἰ̄γιόχοῑο / Διὸϲ μετὰ / δαί̄μοναϲ ἄ̄λλοῡϲ.

223. Πη̄λεΐδη̄ϲ δ' ἐ̄ξαῦτιϲ / ἀτᾱρτη̄ροῖϲ ἐπέε̄ϲϲῑν

224. ¯Ἀτρεΐδη̄ν προϲέειπε, / καὶ οὐ̄ πω̄ / λῆγε χόλοιο̄·

225. οἰ̄νοβαρέ̄ϲ, κυνὸϲ ὄ̄μματ' / ἔχω̄ν, κραδίη̄ν δ' ἐλάφοιο̄,

226. οὔ̄τέ ποτ' ἐ̄ϲ πόλεμο̄ν / ἅμα λᾱῶι / θω̄ρη̄χθῆναῑ

227. οὔ̄τε λόχο̄νδ' ἰέναῑ / ϲὺν ἀρῑϲτήε̄ϲϲιν Ἀχαιῶν

228. τέ̄τλη̄κᾱϲ θῡμῶι· / τὸ δέ τοῑ κὴ̄ρ / εἴ̄δεται εἶ̄ναῑ.

229. ἦ̄ πολὺ λώϊόν ἐ̄ϲτι / κατὰ̄ ϲτρατὸν / εὐ̄ρὺν Ἀχαιῶν

230. δῶρ' ἀποαῑρεῖϲθαῑ, / ὅ̄ϲ τῑϲ ϲέθεν / ἀ̄ντίον εἴ̄πῃ.

231. δη̄μοβόρο̄ϲ βαϲιλεύ̄ϲ, / ἐπεὶ οὐ̄τιδανοῖϲιν ἀνά̄ϲϲειϲ·

232. ἦ γὰρ ἄν, ¯Ἀτρεΐδη̄ / νῦν ὕϲτατα / λω̄βήϲαῑο̄.

233. ἀλλ' ἔκ τοῑ ἐρέω̄, / καὶ ἐπὶ μέγαν / ὅρκον ὀμοῦμαῑ·

234. ναὶ μὰ τόδε̄ ϲκῆπτρο̄ν· / τὸ μὲν οὔ ποτε / φύλλα καὶ ὄζοῡϲ

235. φύϲει, ἐπεὶ δὴ πρῶτα / τομὴν ἐν ὄρε̄ϲϲι λέλοῑπε̄ν,

236. οὐδ' ἀναθη̄λήϲεῑ· / περὶ γάρ ῥά ἑ / χᾱλκὸϲ ἔλε̄ψε̄ν

237. φύλλά τε καὶ φλοῑόν· / νῦν αὖτέ μιν / υἷεϲ Ἀχαῑῶν

238. ἐν παλάμῃϲ φορέοῡϲι / δικᾱϲπόλοι, / οἵ τε θέμῑϲτᾱϲ

239. πρὸϲ Διὸϲ εἰρύαταῑ· / ὃ δέ τοῑ μέγαϲ / ἔϲϲεται ὅρκο̄ϲ·

240. ἦ ποτ' Ἀχῑλλῆο̄ϲ / ποθὴ ἵξεται / υἷαϲ Ἀχαῑῶν

241. ϲύμπᾱντᾱϲ· τότε δ' οὔ τι / δυνήϲεαι / ἀχνύμενόϲ πε̄ρ

242. χραῑϲμεῖν, εὖτ' ἂν πο̄λλοὶ / ὑφ' ¯Ἕκτοροϲ / ἀνδροφόνοῑο̄

243. θνῄϲκο̄ντε̄ϲ πῑπτω̄ϲι· / ϲὺ δ' ἔνδοθι / θῡμὸν ἀμύξεῑϲ

244. χω̄όμενο̄ϲ, ὅ τ' ἄρῑϲτον / Ἀχαῑῶν / οὐδὲν ἔτῑϲᾱϲ.

245. ὣϲ φάτο Πη̄λεΐδη̄ϲ, / ποτὶ δὲ ϲκῆπτρο̄ν βάλε γαίῃ

246. χρῡϲείοῑϲ ἥλοῑϲι / πεπᾱρμένον, / ἕζετο δ' αὐτόϲ·

247. ¯Ἀτρεΐδη̄ϲ δ' ἑτέρω̄θεν / ἐμήνιε. / τοῖϲι δὲ Νέϲτω̄ρ

248. ἡδυεπὴϲ ἀνόροῡϲε, / λιγὺϲ Πυλίω̄ν ἀγορη̄τήϲ,

249. τοῦ καὶ ἀπὸ γλώϲϲη̄ϲ / μέλιτο̄ϲ γλυκίω̄ν ῥέεν αὐδή.

250. τῷ δ' ἤδη̄ δύο μὲν / γενεαὶ μερόπω̄ν ἀνθρώπω̄ν

251. ἐφθίαθ', οἵ οἱ πρόϲθεν / ἅμᾱ τράφον / ἠδ' ἐγένο̄ντο̄

252. ἐν Πύλῳ ἠγαθέῃ, / μετὰ δὲ τριτάτοῑϲιν ἄνᾱϲϲε̄ν.

253. ὃ ϲφιν ἐῢ φρονέω̄ν / ἀγορήϲατο / καὶ μετέεῑπε̄ν·

254. ὢ πόποι, ἦ μέγα πένθοϲ / Ἀχαῑΐδα / γαῖαν ἱκάνεῑ.

255. ἦ κε̄ν γη̄θήϲαῑ / Πρίαμο̄ϲ Πριάμοιό τε παῖδε̄ϲ,

256. ἄλλοί τε̄ Τρῶε̄ϲ / μέγα κε̄ν κεχαροίατο θῡμῶι,

257. εἰ ϲφῶῑν τάδε πάντα / πυθοίατο / μᾱρναμένοιῑν,

258. οἳ περὶ μὲν βοῡλὴν / Δαναῶν, περὶ δ' / ἔϲτὲ μάχε̄ϲθαῑ.

259. ἀλλὰ πίθε̄ϲθ'· ἄμφω̄ δὲ / νεω̄τέρω / ἐϲτὸν ἐμεῖο̄.

260. ἤδη̄ γάρ ποτ' ἐγὼ / καὶ ἀρείοϲιν / ἠέ περ ὑμῖν

261. ἀνδράϲιν ὡμίλη̄ϲα, / καὶ οὔ ποτέ μ' / οἵ γ' ἀθέρῑζο̄ν.

262. οὐ γάρ πω̄ τοίοῡϲ / ἴδον ἀνέραϲ, / οὐδὲ ἴδω̄μαῑ,

263. οἷο̄ν Πεῑρίθοόν τε / Δρύᾱντά τε / ποῑμένα λᾱῶν

264. Καῑνέα τ' ⁻Ἐξάδιόν τε / καὶ ἀντίθεο̄ν Πολύφη̄μο̄ν.

265. [Θηϲέα τ' Αἰγεΐδη̄ν, / ἐπιεί̄κελον / ἀθανάτοιϲῑν·]

266. κάρτῑϲτοῑ δὴ κεῖνοι / ἐπῑχθονίω̄ν τράφον ἀνδρῶν·

267. κάρτῑϲτοῑ μὲν ἔϲᾱν / καὶ κᾱρτίϲτοιϲ ἐμάχο̄ντο̄,

268. Φηρϲὶν ὀρε̄ϲκῴιοιϲι, / καὶ ἐκπάγλωϲ ἀπόλε̄ϲϲᾱν.

269. καὶ μὲν τοῖϲιν ἐγὼ / μεθομί̄λεον / ἐκ Πύλου ἐλθών,

270. τηλόθεν ἐξ ἀπίηϲ / γαίηϲ· καλέϲᾱντο γὰρ αὐτοί.

271. καὶ μαχόμη̄ν κατ' ἔμ' αὐτὸν / ἐγώ· κείνοιϲι δ' ἂν οὔ τιϲ

272. τῶν οἳ νῦν βροτοί εἰϲιν / ἐπῑχθόνιοῑ μαχέοιτο̄.

273. καὶ μέν μεο̄ βουλέων / ξύνιε̄ν πείθο̄ντό τε μύθωι.

274. ἀλλὰ πίθε̄ϲθε καὶ ὔμμεϲ, / ἐπεὶ̄ πεί̄θε̄ϲθαι ἄμεῑνο̄ν·

275. μή̄τε ϲὺ τό̄νδ' ἀγαθό̄ϲ περ / ἐὼ̄ν ἀποαί̄ρεο κού̄ρη̄ν,

276. ἀλλ' ἔα, ὥ̄ϲ οἱ̄ πρῶ̄τα / δόϲᾱν γέραϲ / υἷ̄εϲ Ἀχαῑῶ̄ν·

277. μή̄τε ϲύ, Πη̄λεί̄δη̄ι, / ἔθελ' ἐρῑζέμεναῑ βαϲιλῆ̄ῑ

278. ἀντιβίη̄ν, ἐπεὶ οὔ̄ ποθ' / ὁμοί̄η̄ϲ / ἔ̄μμορε τῑμῆ̄ϲ

279. ϲκη̄πτοῦ̄χο̄ϲ βαϲιλεῦ̄ϲ, / ὧ̄ι τε̄ Ζεὺ̄ϲ / κῦ̄δοϲ ἔδω̄κε̄ν.

280. εἰ̄ δὲ ϲὺ κᾱρτερόϲ ἐ̄ϲϲι, / θεὰ̄ δέ ϲε / γεί̄νατο μή̄τη̄ρ,

281. ἀλλ' ὅδε φε̄ρτερόϲ ἐ̄ϲτιν, / ἐπεὶ̄ πλεόνε̄ϲϲιν ἀνά̄ϲϲεῑ.

282. ¯Ἀτρεί̄δη̄, ϲὺ δὲ παῦ̄ε / τεὸ̄ν μένοϲ· / αὐ̄τὰρ ἐγώ̄ γε̄

283. λί̄ϲϲομ' Ἀχῑλλῆ̄ῑ / μεθέμε̄ν χόλον, / ὃ̄ϲ μέγα πᾶ̄ϲῑν

284. ἕ̄ρκοϲ Ἀχαῑοῖ̄ϲῑν / πέλεταῑ πολέμοῑο κακοῖ̄ο̄.

285. τὸ̄ν δ' ἀπαμεῑβόμενο̄ϲ / προϲέφη̄ κρεί̄ω̄ν Ἀγαμέ̄μνω̄ν·

286. ναὶ̄ δὴ̄ ταῦ̄τά γε πά̄ντα, / γέρο̄ν, κατὰ̄ / μοῖ̄ραν ἔεῑπε̄ϲ·

287. ἀλλ' ὅδ' ἀνὴ̄ρ ἐθέλεῑ / περὶ πά̄ντω̄ν / ἔ̄μμεναι ἄ̄λλω̄ν·

288. πά̄ντω̄ν με̄ν κρατέεῑν / ἐθέλεῑ, πά̄ντε̄ϲϲι δ' ἀνά̄ϲϲεῑν,

289. πᾶ̄ϲι δὲ ϲη̄μαί̄νεῑν, / ἅ̄ τιν' οὐ̄ πεί̄ϲε̄ϲθαι ὀί̄ω̄.

290. εἰ̄ δέ μιν αἰ̄χμη̄τὴ̄ν / ἔθεϲᾱν θεοὶ / αἰ̄ὲν ἐόντε̄ϲ,

291. τοὔ̄νεκά οἱ̄ προθέοῡϲιν / ὀνεί̄δεα / μῡθή̄ϲᾱϲθαῑ;

292. τὸ̄ν δ' ἄ̄ρ' ὑπο̄βλή̄δη̄ν / ἠ̄μεί̄βετο / δῖ̄οϲ Ἀχῑλλεῦ̄ϲ·

293. ἦ̄ γά̄ρ κε̄ν δεῑλό̄ϲ τε / καὶ οὐ̄τιδανὸ̄ϲ καλεοί̄μη̄ν,

294. εἰ̄ δὴ̄ ϲοὶ̄ πᾶ̄ν ἔ̄ργον / ὑπεί̄ξομαι / ὅ̄ττί κεν εἴ̄πη̄ιϲ.

295. ἄλλοιϲῑν δὴ ταῦτ' / ἐπιτέ̄λλεο, / μὴ γὰρ ἐμοί̄ γε̄

296. ϲή̄μαῑν'· οὐ̄ γὰρ ἐγώ̄ γ' / ἔτι ϲοὶ̄ πεί̄ϲε̄ϲθαι ὀί̄ω̄.

297. ἄλλο δέ̄ τοῑ ἐρέω̄, / ϲὺ δ' ἐνὶ̄ φρεϲὶ / βάλλεο ϲῇ͜ιϲῑν·

298. χε̄ρϲὶ μὲν οὔ̄ τοι ἐγώ̄ γε / μαχή̄ϲομαι / εἵ̄νεκα κού̄ρη̄ϲ,

299. οὔ̄τε ϲοὶ οὔ̄τέ τῳ͜ι ἄλλῳ͜ι, / ἐπεί̄ μ' ἀφέλε̄ϲθέ γε δό̄ντε̄ϲ·

300. τῶν δ' ἄλλω̄ν ἅ μοί ἔϲτι / θοῇ͜ι παρὰ / νηῒ μελαί̄νῃ͜ι,

301. τῶν οὐκ ἄν τι φέροιϲ / ἀνελὼν ἀέκο̄ντοϲ ἐμεῖο̄.

302. εἰ̄ δ' ἄγε μὴν πεί̄ρη̄ϲαι, / ἵνᾱ γνώ̄ω̄ϲι καὶ οἵ̄δε̄·

303. αἶ̂ψά τοι αἷ̂μα κελαῑνὸν / ἐρω̄ή̄ϲεῑ περὶ δοῦρί̄.

304. ὣ̄ϲ τώ̄ γ' ἀντιβίοιϲι / μαχε̄ϲϲαμένω̄ ἐπέε̄ϲϲῑν

305. ἀνϲτή̄τη̄ν, λῦ̄ϲᾱν δ' / ἀγορὴ̄ν παρὰ / νῃ͜υϲὶν Ἀχαιῶν.

306. Πη̄λεί̄δη̄ϲ μὲν ἐπὶ̄ / κλιϲίᾱϲ καὶ̄ / νῆαϲ ἐί̄ϲᾱϲ

307. ἤ̈ιε ϲύ̄ν τε Μενοιτιάδῃ͜ι / καὶ̄ / οἷ̂ϲ ἑτάροιϲῑν·

308. ¯Ἀτρεί̄δη̄ϲ δ' ἄρα νῆα / θοὴ̄ν ἅλαδε̄ προέρῡϲϲε̄ν,

309. ἐ̄ν δ' ἐρέτᾱϲ ἔ̄κρῑνεν / ἐεί̄κοϲιν, / ἐ̄ϲ δ' ἑκατό̄μβη̄ν

310. βῆ̄ϲε θεῷ͜ι, ἀνὰ δὲ̄ / Χρῡϲηΐ̄δα / κᾱλλιπάρη̄ο̄ν

311. εἷ̂ϲεν ἄγω̄ν· ἐ̄ν δ' ἀ̄ρχὸϲ / ἔβη πολύμητιϲ Ὀδῡϲϲεύ̄ϲ.

312. οἳ̄ μὲν ἔ̄πειτ' ἀναβά̄ντεϲ / ἐπέ̄πλεον / ὑ̄γρὰ κέλεῡθᾱ,

313. λᾱοὺ̄ϲ δ' ¯Ἀτρεί̄δη̄ϲ / ἀπολῡμαί̄νε̄ϲθαι ἄνω̄γε̄ν.

314. οἳ̄ δ' ἀπελῡμαί̄νο̄ντο / καὶ εἰ̄ϲ ἅλα / λύ̄ματ' ἔ̄βᾱλλο̄ν,

315. ἔ̄ρδο̄ν δ' ¯Ἀπό̄λλω̄νι / τεληέ̄ϲϲᾱϲ ἑκατό̄μβᾱϲ

316. ταῦρω̄ν ἠδ' αἰγῶν / παρὰ θῖν' ἁλὸϲ / ἀτρυγέτοιο̄·

317. κνῖϲη̄ δ' οὐρανὸν ἷκεν / ἑλῑϲϲομένη̄ περὶ κᾱπνῶι.

318. ὣϲ οἳ μὲν τὰ πένο̄ντο / κατᾱ̀ ϲτρατόν· / οὐδ' Ἀγαμέμνω̄ν

319. λῆγ' ἔριδο̄ϲ, τὴν πρῶτον / ἐπη̄πείλη̄ϲ' Ἀχιλῆι,

320. ἀλλ' ὅ γε Τᾱλθύβιόν τε / καὶ Εὐρυβάτη̄ν προϲέειπε̄ν,

321. τώ οἱ ἔϲᾱν κήρῡκε / καὶ ὀτρη̄ρὼ θεράπο̄ντε̄·

322. ἔρχε̄ϲθο̄ν κλιϲίη̄ν / Πη̄λη̄ϊάδεω̄ Ἀχιλῆο̄ϲ·

323. χειρὸϲ ἑλόντ' ἀγέμε̄ν / Βρῑϲη̄ΐδα / κᾱλλιπάρη̄ο̄ν.

324. εἰ δέ κε μὴ δώῃϲιν, / ἐγὼ δέ κεν / αὐτὸϲ ἕλω̄μαι

325. ἐλθὼν ϲὺν πλεόνε̄ϲϲι, / τό οἱ καὶ / ῥίγιον ἔϲται.

326. ὣϲ εἰπὼν προΐει, / κρατερὸν δ' ἐπὶ / μῦθον ἔτε̄λλε̄ν.

327. τὼ δ' ἀέκο̄ντε βάτη̄ν / παρὰ θῖν' ἁλὸϲ / ἀτρυγέτοιο̄,

328. Μῡρμιδόνω̄ν δ' ἐπί τε̄ / κλιϲίᾱϲ καὶ / νῆαϲ ἱκέϲθη̄ν.

329. τὸν δ' ηὗρο̄ν παρά τε̄ / κλιϲίῃ καὶ / νη̄ὶ μελαίνῃ

330. ἥμενον· οὐδ' ἄρα τώ γε / ἰδὼν γήθη̄ϲεν Ἀχῑλλεύϲ.

331. τὼ μὲν τᾱρβήϲᾱντε / καὶ αἰδομένω̄ βαϲιλῆᾱ

332. ϲτήτη̄ν, οὐδέ τί μῑν / προϲεφώνεον / οὐδ' ἐρέο̄ντο̄·

333. αὐτὰρ ὃ ἔγνω̄ ᾗϲιν / ἐνὶ φρεϲὶ / φώνη̄ϲέν τε̄·

334. χαίρετε κήρῡκε̄ϲ, / Διὸϲ ἄγγελοι / ἠδὲ καὶ ἀνδρῶν,

335. ἆϲϲον ἴτ'· οὔ τί μοι ὔμμεϲ / ἐπαίτιοι, / ἀλλ' Ἀγαμέμνω̄ν,

336. ὃ ϲφῶι προΐει / Βρῑϲη̄ΐδοϲ / εἵνεκα κούρη̄ϲ.

337. ἀλλ' ἄγε, δῑογενὲϲ / Πᾰτρόκλεεϲ, / ἔξαγε κούρη̄ν

338. καί ϲφω̄ῑν δὸϲ ἄγεῑν. / τὼ δ' αὐτὼ / μάρτυροι ἔϲτω̄ν

339. πρόϲ τε θεῶν μακάρω̄ν / πρόϲ τε̄ θνη̄τῶν ἀνθρώπω̄ν

340. καὶ πρὸϲ τοῦ βαϲιλῆοϲ / ἀπη̄νέοϲ, / εἴ ποτε δὴ αὖτε̄

341. χρεῑὼ ἐμεῖο γένηται / ἀεῑκέα / λοῑγὸν ἀμῦναῑ

342. τοῖϲ ἄλλοῑϲ. ἦ γὰρ ὅ γ' / ὀλοῑῇϲῑ / φρεϲὶ θυίεῑ,

343. οὐδέ τι οἶδε νοῆϲαι / ἅμᾱ πρόϲϲω̄ καὶ ὀπίϲϲω̄,

344. ὅππω̄ϲ οἱ παρὰ νηυϲὶ / ϲόοῑ μαχεοίατ' Ἀχαῑοί.

345. ὣϲ φάτο, Πάτρο̄κλο̄ϲ δὲ / φίλῳ ἐπεπείθεθ' ἑταίρῳ,

346. ἐκ δ' ἄγαγε̄ κλιϲίηϲ / Βρῑϲηΐδα / κᾱλλιπάρη̄ο̄ν,

347. δῶκε δ' ἄγεῑν. τὼ δ' αὖτιϲ / ἴτη̄ν παρὰ / νῆαϲ Ἀχαῑῶν,

348. ἣ δ' ἀέκουϲ' ἅμα τοῖϲι / γυνὴ κίεν. / αὐτὰρ Ἀχῑλλεύϲ

349. δᾱκρύϲᾱϲ ἑτάρω̄ν / ἄφαρ ἕζετο / νόϲφι λιᾱϲθείϲ

350. θίν' ἔφ' ἁλὸϲ πολιῆϲ, / ὁρόω̄ν ἐπὶ / οἴνοπα πόντο̄ν·

351. πο̄λλὰ δὲ μη̄τρὶ φίλῃ / ἠρήϲατο / χεῖραϲ ὀρε̄γνύϲ·

352. μῆτερ, ἐπεί μ' ἔτεκέϲ γε / μινῡνθάδιόν περ ἐόντᾱ,

353. τῑμήν πέρ μοι ὄφε̄λλεν / Ὀλύμπιοϲ / ἐγγυαλίξαῑ

354. Ζεὺϲ ὑψῑβρεμέτηϲ· / νῦν δ' οὐδέ με / τῡτθὸν ἔτῑϲε̄ν.

355. ἦ γάρ μ' ¯Ἀτρείδηϲ / εὐρὺ κρείω̄ν Ἀγαμέμνω̄ν

356. ἠτίμηϲεν, ἑλὼν γὰρ / ἔχεῑ γέραϲ / αὐτὸϲ ἀπούρᾱϲ.

357. ὣϲ φάτο δάκρυ χέω̄ν, / τοῦ δ' ἔκλυε / πότνια μήτηρ

358. ἡμένη ἐν βένθε̄ϲϲιν / ἁλὸϲ παρὰ / πᾱτρὶ γέρο̄ντῑ.

359. κᾱρπαλίμωϲ δ' ἀνέδῡ / πολιῆϲ ἁλὸϲ / ἠΰτ' ὀμῑ́χλη̄,

360. καῑ́ ῥα πάροῑθ' αὐτοῖο / καθέζετο / δάκρυ χέο̄ντο̄ϲ,

361. χεῖρί τέ μῑν κατέρε̄ξεν, / ἔπο̄ϲ τ' ἔφατ' / ἔκ τ' ὀνόμᾱζε̄ν·

362. τέκνο̄ν, τῑ́ κλαῑ́εῑϲ; / τί δέ ϲε̄ φρέναϲ / ἵκετο πένθο̄ϲ;

363. ἐξαΰδᾱ, μὴ κεῦθε / νόωι, ἵνα / εἴδομεν ἄμφω̄.

364. τὴν δὲ βαρὺ ϲτενάχω̄ν / προϲέφη̄ πόδαϲ / ὠκὺϲ Ἀχῑλλεύϲ·

365. οἶϲθα· τίη τοῑ ταῦτα / ἰδυῑ́ηι / πάντ' ἀγορεύω̄;

366. ὠιχόμεθ' ἐϲ Θήβη̄ν, / ἱερὴν πόλιν / ¯Ἠετίωνο̄ϲ,

367. τὴν δὲ διε̄πράθομέν τε / καὶ ἤγομεν / ἐνθάδε πάντᾱ.

368. καὶ τὰ μὲν εὖ δάϲϲᾱντο / μετὰ ϲφίϲιν / υἷεϲ Ἀχαιῶν,

369. ἐκ δ' ἕλον ¯Ἀτρεΐδηι / Χρῡϲηΐδα / κᾱλλιπάρηο̄ν.

370. Χρύϲηϲ δ' αὖθ', ἱερεὺϲ / ἑκατηβόλου / ¯Ἀπόλλωνο̄ϲ,

371. ἦλθε θοὰϲ ἐπὶ νῆαϲ / Ἀχαιῶν / χᾱλκοχιτώνων

372. λῡϲόμενόϲ τε θύγᾱτρα / φέρω̄ν τ' ἀπερείϲι' ἄποινᾱ,

373. ϲτέμματ' ἔχω̄ν ἐν χε̄ρϲὶν / ἑκηβόλου / ¯Ἀπόλλωνο̄ϲ

374. χρῡϲέωι ἀνὰ ϲκήπτρωι, / καὶ λίϲϲετο / πάνταϲ Ἀχαιούϲ,

375. ¯Ἀτρεΐδᾱ δὲ μάλῑϲτα / δύω̄, κο̄ϲμήτορε λᾱῶν.

376. ἔνθ' ἄλλοῑ μὲν πάντεϲ / ἐπευφήμηϲαν Ἀχαιοί,

377. αἰδεῖϲθαί θ' ἱερῆα / καὶ ἀγλαὰ / δέχθαι ἄποινᾱ·

378. ἀλλ' οὐκ ¯Ἀτρεΐδηι / Ἀγαμέμνονι / ἥνδανε θῡμῶι,

379. ἀλλὰ κακῶϲ ἀφίεῑ, / κρατερὸν δ' ἐπὶ / μῦθον ἔτε̄λλε̄ν.

380. χω̄όμενο̄ϲ δ' ὁ γέρω̄ν / πάλιν ὤ͜ιχετο· / τοῖο δ' Ἀπό̄λλω̄ν

381. εὔξαμένοῡ ἤκοῡϲεν, / ἐπεῑ̀ μάλα / οῑ̔ φίλοϲ ἦε̄ν,

382. ἧκε δ' ἐπ' ¯Ἀργεΐοῑϲι / κακὸν βέλοϲ· / οἳ δέ νυ λᾱοί

383. θνῄ͜ιϲκον ἐπᾱϲϲύτεροῑ, / τὰ δ' ἐπῴ͜ιχετο / κῆλα θεοῖο̄

384. πάντη͜ι ἀνὰ ϲτρατὸν εὐρὺν / Ἀχαῑῶν· / ἄμμι δὲ μάντῑϲ

385. εὖ εἰδὼϲ ἀγόρεῡε / θεο̄προπίᾱϲ Ἑκάτοιο̄.

386. αὐτίκ' ἐγὼ πρῶτο̄ϲ / κελόμη̄ν θεὸν / ἱλάϲκε̄ϲθαῑ·

387. ¯Ἀτρεΐω̄να δ' ἔπειτα / χόλο̄ϲ λάβεν, / αἶψα δ' ἀνᾱϲτάϲ

388. ἠπείλη̄ϲε̄ν μῦθον, / ὃ δὴ τετελε̄ϲμένοϲ ἐϲτίν.

389. τὴν μὲν γὰρ ϲὺν νηῒ / θοῆ͜ι ἑλίκω̄πεϲ Ἀχαιοί

390. ἐϲ Χρύϲη̄ν πέμποῡϲιν, / ἄγοῡϲι δὲ / δῶρα ἄνᾱκτῑ·

391. τὴν δὲ νέο̄ν κλιϲίη̄θεν / ἔβᾱν κήρῡκεϲ ἄγο̄ντεϲ

392. κούρη̄ν Βρῑϲῆο̄ϲ, / τήν μοῑ δόϲαν / υἷεϲ Ἀχαιῶν.

393. ἀλλὰ ϲύ, εἰ δύναϲαί γε, / περίϲχεο / παιδὸϲ ἑῆο̄ϲ·

394. ἐλθοῦϲ' Οὔλῡμπό̄νδε / Δίᾱ λίϲαι, / εἴ ποτε δή τι

395. ἢ ἔπει ὤνη̄ϲᾱϲ / κραδίη̄ν Διὸϲ / ἠὲ καὶ ἔργω͜ι.

396. πο̄λλάκι γάρ ϲεο πᾱτρὸϲ / ἐνὶ μεγάροιϲιν ἄκοῡϲᾱ

397. εὐχομένη̄ϲ, ὅτ' ἔφη̄ϲθα / κελαινεφέῑ Κρονίω̄νι

398. οἴη ἐν ἀθανάτοιϲιν / ἀεικέα / λοιγὸν ἀμῦναι,

399. ὁππότε μιν ξῡνδῆϲαι / Ὀλύμπιοι / ἤθελον ἄλλοι,

400. Ἥρη τ' ἠδὲ Ποϲειδάων / καὶ / Πᾱλλὰϲ Ἀθήνη,

401. ἀλλὰ ϲὺ τόν γ' ἐλθοῦϲα, / θεά, ὑπελύϲαο δεϲμῶν,

402. ὦχ' ἑκατόγχειρον / καλέϲᾱϲ' ἐϲ / μᾱκρὸν Ὄλῡμπον,

403. ὃν Βριάρεων καλέουϲι / θεοί, ἄνδρεϲ δέ τε πάντεϲ

404. Αἰγαίων', ὁ γὰρ αὖτε / βίην οὗ / πᾱτρὸϲ ἀμείνων·

405. ὅϲ ῥα παρὰ Κρονίωνι / καθέζετο / κύδεϊ γαίων·

406. τὸν καὶ ὑπέδδειϲᾱν / μάκαρεϲ θεοί, / οὐδ' ἔτ' ἔδηϲᾱν.

407. τῶν νῦν μῑν μνήϲᾱϲα / παρέζεο / καὶ λαβὲ γούνων,

408. αἴ κέν πωϲ ἐθέλῃϲιν / ἐπὶ Τρώεϲϲιν ἀρῆξαι,

409. τοὺϲ δὲ κατὰ πρύμνᾱϲ τε / καὶ ἀμφ' ἅλα / ἔλϲαι Ἀχαιούϲ

410. κτεινομένουϲ, ἵνα πάντεϲ / ἐπαύρωνται βαϲιλῆοϲ,

411. γνῷ δὲ καὶ Ἀτρεΐδηϲ / εὐρὺ κρείων Ἀγαμέμνων

412. ἣν ἄτην, ὅ τ' ἄριϲτον / Ἀχαιῶν / οὐδὲν ἔτιϲεν.

413. τὸν δ' ἠμείβετ' ἔπειτα / Θέτιϲ κατὰ / δάκρυ χέουϲᾱ·

414. ὤ μοι τέκνον ἐμόν, / τί νύ ϲ' ἔτρεφον / αἰνὰ τεκοῦϲα;

415. αἴθ' ὄφελεϲ παρὰ νηυϲὶν / ἀδάκρυτοϲ καὶ ἀπήμων

416. ἦϲθαι, ἐπεί νύ τοι αἶϲα / μίνυνθά περ, / οὔ τι μάλα δήν.

417. νῦν δ' ἅμα τ' ὠκύμοροϲ / καὶ ὀϊζυρὸϲ περὶ πάντων

418. ἔπλεο· τώ ϲε κακῇ / αἴϲῃ τέκον / ἐν μεγάροιϲιν.

419. τοῦτο δέ τοι ἐρέουϲα / ἔποϲ Διὶ / τερπικεραύνῳ

420. εἶμ' αὐτὴ πρὸϲ Ὄλυμπον / ἀγάννιφον, / αἴ κε πίθηται.

421. ἀλλὰ ϲὺ μὲν νῦν νηυϲὶ / παρήμενοϲ / ὠκυπόροιϲῑν

422. μῆνι' Ἀχαιοῖϲῑν, / πολέμου δ' ἀποπαύεο πάμπᾱν.

423. Ζεὺϲ γὰρ ἐϲ Ὠκεανὸν / μετ' ἀμύμοναϲ / Αἰθιοπῆᾱϲ

424. χθῑζὸϲ ἔβη κατὰ δαῖτα, / θεοὶ δ' ἅμα / πάντεϲ ἕπōντō·

425. δωδεκάτηι δέ τοι αὖτιϲ / ἐλεύϲεται / Οὔλῡμπόνδε·

426. καὶ τότ' ἔπειτά τοι εἶμι / Διὸϲ ποτὶ / χᾱλκοβατὲϲ δῶ

427. καί μῑν γουνάϲομαῑ, / καί μῑν πείϲεϲθαι ὀΐω.

428. ὣϲ ἄρα φωνήϲᾱϲ' / ἀπεβήϲετο, / τὸν δ' ἔλιπ' αὐτοῦ

429. χωόμενōν κατὰ θῡμὸν / ἐῡζώνοιο γυναικόϲ,

430. τήν ῥα βίηι ἀέκōντοϲ / ἀπηύρων. / αὐτὰρ Ὀδῡϲϲεύϲ

431. ἐϲ Χρύϲην ἵκᾱνεν / ἄγων ἱερὴν ἑκατόμβην.

432. οἳ δ' ὅτε δὴ λιμένōϲ / πολυβένθεοϲ / ἐντὸϲ ἵκōντō,

433. ἱϲτία μὲν ϲτείλᾱντο, / θέϲᾱν δ' ἐν / νηὶ μελαίνηι,

434. ἱϲτὸν δ' ἱϲτοδόκηι / πέλαϲᾱν προτόνοιϲιν ὑφέντεϲ

435. καρπαλίμωϲ, τὴν δ' εἰϲ / ὅρμōν προέρεϲϲαν ἐρετμοῖϲ.

436. ἐκ δ' εὐνὰϲ ἔβαλōν, / κατὰ δὲ πρυμνήϲι' ἔδηϲᾱν,

437. ἐκ δὲ καὶ αὐτοὶ βαῖνον / ἐπὶ ῥηγμῖνι θαλάϲϲηϲ,

438. ἐκ δ' ἑκατόμβην βῆϲαν / ἑκηβόλωι / Ἀπόλλωνῑ·

439. ἐκ δὲ Χρῡϲηὶϲ / νηὸϲ βῆ / πōντοπόροιō.

440. τὴν μὲν ἔπειτ' ἐπὶ βωμὸν / ἄγων πολύμητιϲ Ὀδῡϲϲεύϲ

441. πᾱτρὶ φίλωι ἐν χερϲὶ / τίθει, καί μῑν προϲέειπεν·

442. ὦ Χρῡ́ϲη, πρό μ' ἔπε̄μψεν / ἄνᾱξ ἀνδρῶν Ἀγαμέμνων

443. παῖδά τε ϲοὶ ἀγέμε̄ν, / Φοίβω͜ι θ' ἱερὴν ἑκατόμβη̄ν

444. ῥέξαι ὑπὲρ Δαναῶν, / ὄφρ' ῑ̔λαϲόμε̄ϲθα ἄνᾱκτᾱ,

445. ὃϲ νῦν ¯Ἀργεῖοῖϲι / πολῡ́ϲτονα / κήδε' ἐφῆκε̄ν.

446. ὣϲ εἰπὼν ἐν χε̄ρϲὶ / τίθεῑ, ὃ δὲ / δέξατο χαίρω̄ν

447. παῖδα φίλη̄ν· τοὶ δ' ὦκα / θεω͜ι κλεῑτὴν ἑκατόμβη̄ν

448. ἑξείη̄ϲ ἔϲτη̄ϲαν / ἐΰδμη̄το̄ν περὶ βω̄μόν,

449. χε̄ρνί̄ψᾱντο δ' ἔπεῑτα / καὶ οὐλοχύτᾱϲ ἀνέλο̄ντο̄.

450. τοῖϲῑν δὲ Χρῡ́ϲη̄ϲ / μεγάλ' ηὔχετο / χεῖραϲ ἀνᾱϲχών·

451. κλῦθί μοι, ἀργυρότο̄ξ', / ὃϲ Χρῡ́ϲη̄ν / ἀμφιβέβη̄κᾱϲ

452. Κί̄λλάν τε̄ ζαθέη̄ν, / Τενέδοιό τε / ἶφι ἀνάϲϲεῑϲ.

453. ἠμὲν δή ποτ' ἐμέο / πάροϲ ἔκλυεϲ / εὐξαμένοιο̄·

454. τί̄μη̄ϲᾱϲ μὲν ἐμέ, / μέγα δ' ἴψαο / λᾱὸν Ἀχαιῶν·

455. ἠδ' ἔτι καὶ νῦν μοῑ / τόδ' ἐπῑκρήη̄νον ἐέλδωρ·

456. ἤδη̄ νῦν Δαναοῖϲιν / ἀεῑκέα / λοῑγὸν ἄμῡνο̄ν.

457. ὣϲ ἔφατ' εὐχόμενο̄ϲ, / τοῦ δ' ἔκλυε / Φοῖβοϲ Ἀπόλλω̄ν.

458. αὐτὰρ ἐπεί ῥ' ηὔξᾱντο / καὶ οὐλοχύτᾱϲ προβάλο̄ντο̄,

459. αὐέρυϲᾱν μὲν πρῶτα / καὶ ἔϲφᾱξᾱν καὶ ἔδεῑρᾱν,

460. μηρούϲ τ' ἐξέταμο̄ν / κατά τε̄ κνίϲη͜ι ἐκάλῡψᾱν

461. δίπτυχα ποιήϲᾱντεϲ, / ἐπ' αὐτῶν δ' / ὠμοθέτηϲᾱν.

462. καῖε δ' ἐπὶ ϲχίζη͜ιϲ / ὁ γέρω̄ν, ἐπὶ δ' / αἴθοπα οἶνο̄ν

463. λεῖβε· νέοῑ δὲ παρ' αὐτὸν / ἔχōν πε̄μπώβολα χε̄ρϲί̄ν.

464. αὐτὰρ ἐπεὶ̄ κατὰ μῆρ' / ἐκάη̄ καὶ̄ ϲπλά̄γχν' ἐπάϲᾱντō,

465. μῑ́ϲτῡλλό̄ν τ' ἄρα τᾶ̆λλα / καὶ ἀ̄μφ' ὀβελοῖϲιν ἔ̄πειρᾱν

466. ὤ̄πτηϲά̄ν τε περῑφραδέω̄ϲ, / ἐρύϲᾱντό τε πά̄ντᾱ.

467. αὐτὰρ ἐπεὶ̄ παῦϲᾱντο / πόνοῡ τετύκōντό τε δαῖτᾱ,

468. δαί̄νῡντ', οὐδέ τι θῡμὸϲ / ἐδεύ̄ετο / δαῑτὸϲ ἐί̄ϲηϲ.

469. αὐτὰρ ἐπεὶ̄ πόϲιōϲ / καὶ ἐδητύοϲ / ἐ̄ξ ἔρον ἕ̄ντō,

470. κοῦροῑ μὲ̄ν κρητῆραϲ / ἐπε̄ϲτέ̄ψᾱντο ποτοῖō,

471. νώμηϲᾱν δ' ἄρα πᾶϲιν / ἐπᾱρξάμενοῑ δεπάε̄ϲϲῑν,

472. οἳ̄ δὲ πανημέριοῑ / μōλπῆ̄ι θεὸν / ἱ̄λά̄ϲκōντō

473. κᾱλὸν ἀεί̄δōντε̄ϲ / παιή̄ονα / κοῦροι Ἀχαιῶν,

474. μέ̄λπōντε̄ϲ Ἑκάε̄ργον· / ὃ δὲ̄ φρένα / τέρπετ' ἀκού̄ων.

475. ἦ̄μōϲ δ' ἠέλιōϲ / κατέδῡ καὶ ἐπὶ̄ κνέφαϲ ἦ̄λθε̄ν,

476. δὴ̄ τότε κοῑμή̄ϲᾱντο / παρὰ̄ πρῡμνή̄ϲια νηό̄ϲ·

477. ἦ̄μōϲ δ' ἠριγένεῑα / φάνη̄ ῥοδοδά̄κτυλοϲ ¯Ἠώϲ,

478. καὶ̄ τότ' ἔπειτ' ἀνάγōντο / μετὰ̄ ϲτρατὸν / εὐ̄ρὺν Ἀχαιῶν.

479. τοῖϲῑν δ' ἴ̄κμενον οὖ̄ρον / ἵ̄ει ἑ̄κάε̄ργοϲ Ἀπό̄λλω̄ν,

480. οἳ̄ δ' ἱ̄ϲτὸ̄ν ϲτή̄ϲᾱντ' / ἀνά θ' ἱ̄ϲτία / λεῡκὰ πέτᾱϲϲᾱν,

481. ἐ̄ν δ' ἄνεμōϲ πρῆϲε̄ν / μέϲον ἱ̄ϲτίον, / ἀ̄μφὶ δὲ κῦμᾱ

482. ϲτεῑ́ρῆ̄ι πōρφύρεōν / μεγάλ' ἴ̄αχε / νηὸϲ ἰοῦ̄ϲηϲ,

483. ἣ̄ δ' ἔθεε̄ν κατὰ κῦμα / διᾱπρή̄ϲϲοῡϲα κέλεῡθōν.

484. αὐτὰρ ἐπεί ῥ' ἵκōντο / κατὰ ϲτρατὸν / εὐρὺν Ἀχαῑῶν,

485. νῆα μὲν οἵ γε μέλαῑναν / ἐπ' ἠπείροῑο ἔρῡϲϲᾱν

486. ὑψοῦ ἐπὶ ψαμάθοῑϲ, / ὑπὸ δ' ἕρματα / μᾱκρὰ τάνῡϲϲᾱν,

487. αὐτοὶ δ' ἐϲκίδνᾱντο / κατὰ κλιϲίᾱϲ τε νέᾱϲ τε̄.

488. αὐτὰρ ὃ μήνιε νηυϲὶ / παρήμενοϲ / ὠκυπόροῑϲῑν

489. δῑογενὴϲ Πηλῆοϲ / {υἱόϲ}, πόδαϲ / ὠκὺϲ Ἀχῑλλεύϲ·

490. οὔτέ ποτ' εἴϲ ἀγορὴν / πωλέϲκετο / κῡδιάνεῑρᾱν

491. οὔτέ ποτ' ἐϲ πόλεμōν, / ἀλλὰ φθινύθε̄ϲκε φίλōν κῆρ

492. αὖθι μένων· ποθέε̄ϲκε δ' / ἀῡτήν τε̄ πτόλεμόν τε̄.

493. ἀλλ' ὅτε δή ῥ' ἐκ τοῖο / δυωδεκάτη γένετ' ἠώϲ,

494. καὶ τότε δὴ πρὸϲ Ὄλῡμπον / ἴϲᾱν θεοὶ / αἰὲν ἐόντε̄ϲ

495. πάντεϲ ἅμα, Ζεὺϲ δ' ἦρχε· / Θέτῑϲ δ' οὐ / λήθετ' ἐφε̄τμέων

496. παῑδὸϲ ἑοῦ, ἀλλ' ἥ γ' / ἀνεδύϲετο / κῦμα θαλάϲϲηϲ,

497. ἠερίη δ' ἀνέβη / μέγαν οὐρανὸν / Οὔλῡμπόν τε̄.

498. ηὗρε̄ν δ' εὐρύοπᾱ / Κρονίδην ἄτερ / ἥμενον ἄλλων

499. ἀκροτάτηι κορυφῆι / πολυδεῑράδοϲ / Οὐλύμποῑō·

500. καί ῥα πάροῑθ' αὐτοῖο / καθέζετο, / καὶ λάβε γούνων

501. ϲκαῑῆι, δε̄ξιτερῆι δ' ἄρ' / ὑπ' ἀνθερεῶνοϲ ἑλοῦϲᾱ

502. λῑϲϲομένη προϲέειπε / Δίᾱ Κρονίωνα ἄνᾱκτᾱ·

503. Ζεῦ πάτερ, εἴ ποτε δή ϲε / μετ' ἀθανάτοῑϲιν ὄνηϲᾱ

504. ἢ ἔπει ἢ ἔργωι, / τόδε μοῑ κρήηνον ἐέλδωρ·

505. τῑ́μη̄ϲο̄́ν μοῑ υἱ̄όν, / ὃϲ ὠ̄κυμορώ̄τατοϲ ἄ̄λλω̄ν

506. ἔ̄πλετ'· ἀτᾱ́ρ μῑν νῦν γε / ἄνᾱξ ἀ̄νδρῶν Ἀγαμέ̄μνω̄ν

507. ἠ̄τῑ́μη̄ϲεν· ἑλὼ̄ν γὰρ / ἔ̄χεῑ γέραϲ / αὖ̄τὸϲ ἀποῦ̄ρᾱϲ.

508. ἀ̄λλὰ ϲύ πέ̄ρ μῑν τῖϲον, / Ὀλῦ̄μπιε / μη̄τίετᾱ Ζεῦ·

509. τό̄φρα δ' ἐπὶ̄ Τρώ̄ε̄ϲϲι / τίθεῑ κράτοϲ, / ὄ̄φρ' ἂ̄ν Ἀχαῑοί̄

510. υἱ̄ὸν ἐμὸ̄ν τίϲω̄ϲιν / ὀφέ̄λλω̄ϲί̄ν τέ ἑ τῑμῆι.

511. ὣ̄ϲ φάτο· τὴ̄ν δ' οὔ̄ τῑ / προϲέφη̄ νεφελη̄γερέτᾱ Ζεῦ̄ϲ,

512. ἀ̄λλ' ἀκέω̄ν δὴ̄ν ἧ̄ϲτο. / Θέτῑϲ δ' ὡ̄ϲ / ἥ̄ψατο γοῦ̄νω̄ν,

513. ὣ̄ϲ ἔχετ' ἐ̄μπεφυυῖα, / καὶ εἴ̄ρετο / δεῦ̄τερον αὖ̄τῑϲ·

514. νη̄με̄ρτὲ̄ϲ μὲ̄ν δή̄ μοι / ὑ̄πό̄ϲχεο / καὶ̄ κατάνεῡϲο̄ν,

515. ἢ̄' ἀπόεῑπ', ἐπεὶ οὔ̄ τοι / ἔπῑ δέοϲ, / ὄ̄φρ' εὖ̄ εἴ̄δω̄

516. ὅ̄ϲϲον ἐγὼ̄ μετὰ πᾶϲιν / ἀτῑμοτάτη̄ θεόϲ εἰ̄μῑ.

517. τὴ̄ν δὲ μέγ' ὀ̄χθή̄ϲᾱϲ / προϲέφη̄ νεφελη̄γερέτᾱ Ζεῦ̄ϲ·

518. ἦ̄ δὴ̄ λοί̄για ἔ̄ργ', / ὅ̄ τέ μ' ἐ̄χθοδοπῆ̄ϲαι ἐφή̄ϲεῑϲ

519. ¯῞Ηρηι, ὅ̄τ' ἄ̄ν μ' ἐρέθη̄ϲιν / ὀνεῑδεί̄οῑϲ ἐπέε̄ϲϲῑν.

520. ἣ̄ δὲ καὶ αὔ̄τω̄ϲ μ' αἰ̄εὶ / ἐν ἀ̄θανάτοῑϲι θεοῖ̄ϲῑν

521. νεῑκεῖ̄, καί̄ τέ μέ φη̄ϲι / μάχῆι Τρώ̄ε̄ϲϲιν ἀρή̄γεῑν.

522. ἀ̄λλὰ ϲὺ μὲ̄ν νῦν αὖ̄τιϲ / ἀπό̄ϲτιχε, / μή̄ τι νοή̄ϲῆι

523. ¯῞Ηρη· ἐμοὶ̄ δέ κε ταῦτα / μελή̄ϲεται, / ὄ̄φρα τελέ̄ϲϲω̄.

524. εἰ̄ δ' ἄγε τοῑ κεφαλῆι / κατανεῦ̄ϲομαι, / ὄ̄φρα πεποί̄θῆιϲ·

525. τοῦ̄το γὰρ ἐ̄ξ ἐμέθε̄ν γε / μετ' ἀ̄θανάτοῑϲι μέγῑϲτο̄ν

526. τέκμω̄ρ· οὐ γὰρ ἐμὸν / παλινάγρετον / οὐδ' ἀπατη̄λὸν
527. οὐδ' ἀτελεύτη̄το̄ν, / ὅ τί κε̄ν κεφαλῆι‿ καταν̄εύϲω̄.
528. ἦ, καὶ κῡανέῃιϲιν / ἐπ' ὀφρύϲι / νεῦϲε Κρονί̄ω̄ν,
529. ἀμβρόϲιαῑ δ' ἄρα χαῖται / ἐπε̄ρρώϲᾱντο ἄνᾱκτο̄ϲ
530. κρᾱτὸϲ ἀπ' ἀθανάτοῑο· / μέγᾱν δ' ἐλέλῑξεν Ὄλῡμπο̄ν.
531. τώ γ' ὣϲ βοῡλεύϲᾱντε / διέτμαγεν· / ἣ μὲν ἔπειτᾱ
532. εἰϲ ἅλα ἆλτο βαθεῖαν / ἀπ' αἰγλήε̄ντοϲ Ὀλύμποῡ,
533. Ζεὺϲ δὲ ἑὸν πρὸϲ δῶμα· / θεοὶ δ' ἅμα / πάντεϲ ἀνέϲτᾱν
534. ἐξ ἑδέω̄ν ϲφοῦ πᾱτρὸϲ / ἐνᾱντίον, / οὐδέ τιϲ ἔτλη̄
535. μεῖναι ἐπε̄ρχόμενο̄ν, / ἀλλ' ἀντίοι / ἔϲταν ἅπᾱντε̄ϲ.
536. ὣϲ ὃ μὲν ἔνθα καθέζετ' / ἐπὶ θρόνου· / οὐδέ μιν ¯Ἥρη̄
537. ἠγνοίη̄ϲεν ἰδοῦϲ' / ὅτι οἱ ϲῡμφράϲϲατο βοῡλάϲ
538. ἀργυρόπε̄ζα Θέτῑϲ, / θυγάτη̄ρ ἁλίοῑο γέρο̄ντο̄ϲ.
539. αὐτίκα κε̄ρτομίοῑϲι / Δίᾱ Κρονίω̄νᾱ προϲηύδᾱ·
540. τίϲ δὴ‿αὖ τοῑ, δολομῆτα, / θεῶν ϲῡμφράϲϲατο βοῡλάϲ;
541. αἰεί τοῑ φίλον ἐϲτὶν / ἐμεῖ' ἀπὸ / νόϲφιν ἐόντᾱ
542. κρῡπτάδιᾱ φρονέο̄ντα / δικᾱζέμεν· / οὐδέ τί πώ μοῑ
543. πρόφρω̄ν τέτλη̄κᾱϲ / εἰπεῖν ἔποϲ / ὅττι νοήϲῃιϲ.
544. τὴν δ' ἠμείβετ' ἔπειτα / πατὴρ ἀνδρῶν τε θεῶν τε̄·
545. ¯Ἥρη̄, μὴ δὴ πάνταϲ / ἐμοὺϲ ἐπιέλπεο μύθοῡϲ
546. εἰδήϲεῑν· χαλεποί τοι / ἔϲο̄ντ' ἀλόχωι‿ περ ἐούϲῃι·

547. ἀλλ' ὃν μέν κ' ἐπιεῑκὲϲ / ἀκοῡέμεν, / οὔ τιϲ ἔπειτᾱ

548. οὔτε θεῶν πρότερο̄ϲ / τόν γ' εἴϲεται / οὔτ' ἀνθρώπων·

549. ὃν δέ κ' ἐγὼν ἀπάνεῡθε / θεῶν ἐθέλωμι νοῆϲαῑ,

550. μή τι ϲὺ ταῦτα ἕκᾱϲτα / διείρεο / μηδὲ μετάλλᾱ.

551. τὸν δ' ἠμείβετ' ἔπειτα / βοῶπῑϲ / πότνια ¯῞Ηρη̄·

552. αἰνότατε̄ Κρονίδη̄, / ποῖο̄ν τὸν / μῦθον ἔειπε̄ϲ;

553. καὶ λίη̄ν ϲε πάρο̄ϲ γ' / οὔτ' εἴρομαι / οὔτε μετᾱλλῶ,

554. ἀλλὰ μάλ' εὔκηλο̄ϲ τὰ φράζεαι / ἅϲϲ' ἐθέληιϲθᾱ.

555. νῦν δ' αἰνῶϲ δείδοῑκα / κατὰ φρένα, / μή ϲε παρείπηι

556. ἀργυρόπε̄ζα Θέτῑϲ, / θυγάτηρ ἁλίοιο γέρο̄ντο̄ϲ·

557. ἠερίη̄ γὰρ ϲοί γε / παρέζετο / καὶ λάβε γούνων.

558. τῆι ϲ' ὀΐω̄ κατανεῦϲαι / ἐτήτυμον, / ὡϲ Ἀχιλῆᾱ

559. τῑμήϲηιϲ, ὀλέϲηιϲ δὲ / πολὺϲ ἐπὶ / νηυϲὶν Ἀχαιῶν.

560. τὴν δ' ἀπαμειβόμενο̄ϲ /προϲέφη̄ νεφεληγερέτᾱ Ζεύϲ·

561. δαιμονίη̄, αἰεὶ μὲν / ὀΐεαι, / οὐδέ ϲε λήθω̄,

562. πρῆξαῑ δ' ἔμπηϲ οὔ τι / δυνήϲεαι, / ἀλλ' ἀπὸ θῡμοῦ

563. μᾶλλον ἐμοὶ ἔϲεαῑ, / τὸ δέ τοι καὶ / ῥίγιον ἔϲταῑ.

564. εἰ δ' οὕτω̄ τοῦτ' ἔϲτιν, / ἐμοὶ μέλλει φίλον εἶναῑ.

565. ἀλλ' ἀκέουϲα κάθηϲο, / ἐμῶι δ' ἐπιπείθεο μύθωι,

566. μή νύ τοι οὐ χραίϲμω̄ϲιν / ὅϲοι θεοί / εἴϲ' ἐν Ὀλύμπωι

567. ἆϲϲον ἰόνθ', ὅτε κέν τοι / ἀάπτουϲ χεῖραϲ ἐφείω.

568. ὣϲ ἔφατ' ἔδδειϲε̄ν δὲ / βοῶπῑϲ / πότνια Ἥρη,

569. καί ῥ' ἀκέουϲα καθῆϲτο / ἐπῑγνάμψᾱϲα φίλο̄ν κῆρ·

570. ὄχθηϲᾱν δ' ἀνὰ δῶμα / Διὸϲ θεοὶ / οὐρανίωνε̄ϲ.

571. τοῖϲῑν δ' Ἥφαῑϲτο̄ϲ / κλυτοτέχνηϲ / ἦρχ' ἀγορεῡειν,

572. μητρὶ φίλῃι ἐπὶ ἦρα / φέρων, λεῡκωλένωι Ἥρῃι·

573. ἦ δὴ λοίγια ἔργα / τάδ' ἔϲϲεταῑ, / οὐδ' ἔτ' ἀνε̄κτά,

574. εἰ δὴ ϲφὼ ἕνεκᾱ / θνητῶν ἐριδαί̄νετον ὧδε̄,

575. ἐν δὲ θεοῖϲι κολῳιὸν / ἐλαύνετον· / οὐδέ τι δαῑτόϲ

576. ἐϲθλῆϲ ἔϲϲεται ἦδοϲ, / ἐπεὶ τὰ χερείονα νῑκᾷι.

577. μητρὶ δ' ἐγὼ παράφημι, / καὶ αὐτῇι πε̄ρ νοεούϲῃι,

578. πᾱτρὶ φίλωι ἐπὶ ἦρα / φέρεῑν Διί, / ὄφρα μὴ αὖτε̄

579. νεῑκείῃϲι πατήρ, / ϲὺν δ' ἡμῖν / δαῖτα ταράξῃι.

580. εἴ πε̄ρ γάρ κ' ἐθέλῃϲιν / Ὀλύμπιοϲ / ἀϲτεροπητήϲ

581. ἐξ ἑδέων ϲτυφελίξαι· / ὁ γὰρ πολὺ / φέρτερόϲ ἐϲτῑν.

582. ἀλλὰ ϲὺ τόν γ' ἐπέε̄ϲϲι / καθάπτε̄ϲθαῑ μαλακοῖϲῑν·

583. αὐτίκ' ἔπειθ' ἵλᾱοϲ / Ὀλύμπιοϲ / ἔϲϲεται ἡμῖν.

584. ὣϲ ἄρ' ἔφη, καὶ ἀνᾱίξᾱϲ / δέπαϲ / ἀμφικύπε̄λλο̄ν

585. μητρὶ φίλῃι ἐν χε̄ρϲὶ / τίθεῑ, καί μῑν προϲέειπε̄ν·

586. τέτλαθι, μῆτερ ἐμή, / καὶ ἀνάϲχεο / κηδομένη πε̄ρ,

587. μή ϲε φίλην περ ἐοῦϲαν / ἐν ὀφθᾱλμοῖϲιν ἴδωμαῑ

588. θεῑνομένην, τότε δ' οὔ τι / δυνήϲομαι, / ἀχνύμενόϲ πε̄ρ,

χραῖϲμεῖν· ἀργαλέοϲ γὰρ / Ὀλύμπιοϲ / ἀντιφέρε̄ϲθαῑ.
ἤδη γάρ με καὶ ἄλλοτ' / ἀλε̄ξέμεναῑ μεμαῶτᾱ
ῥῖψε ποδὸϲ τεταγὼν / ἀπὸ βηλοῦ / θε̄ϲπεϲίοῑο̄·
πᾶν δ' ἦμᾱρ φερόμη̄ν, / ἅμα δ' ἠελίῳ καταδῦντῑ
κάππεϲον ἐν Λήμνῳ, / ὀλίγο̄ϲ δ' ἔτι / θῡμὸϲ ἐνῆε̄ν.
ἔνθά με Ϲίντιεϲ ἄνδρεϲ / ἄφᾱρ κομίϲᾱντο πεϲόντᾱ.
ὣϲ φάτο, μείδηϲε̄ν δὲ / θεὰ λευκώλενοϲ ¯Ἥρη,
μειδήϲᾱϲα δὲ παῖδὸϲ / ἐδέξατο / χειρὶ κύπε̄λλο̄ν.
αὐτὰρ ὃ τοῖϲ ἄλλοῑϲι / θεοῖϲ ἐνδέξια πᾶϲῑν
οἰνοχόεῑ γλυκὺ νέκταρ / ἀπὸ κρητῆροϲ ἀφύϲϲων·
ἄϲβε̄ϲτο̄ϲ δ' ἄρ' ἐνῶρτο / γέλωϲ μακάρε̄ϲϲι θεοῖϲῑν,
ὣϲ ἴδον ¯Ἥφαῖϲτο̄ν / διὰ δώματα / ποῖπνύο̄ντᾱ.
ὣϲ τότε μὲν πρόπαν ἦμαρ / ἐϲ ἠέλιο̄ν καταδύντᾱ
δαίνῡντ', οὐδέ τι θῡμὸϲ / ἐδεύετο / δαῖτὸϲ ἐΐϲηϲ,
οὐ μὲν φόρμῑγγο̄ϲ / περικᾱλλέοϲ, / ἣν ἔχ' Ἀπόλλων,
Μοῡϲᾱ́ων θ', αἳ ἄεῑδον / ἀμεῖβόμεναῑ ὀπὶ κᾱλῇ.
αὐτὰρ ἐπεὶ κατέδῡ / λᾱμπρὸν φάοϲ / ἠελίοῑο̄,
οἳ μὲν κᾱκκείο̄ντεϲ / ἔβᾱν οἶκόνδε ἕκᾱϲτο̄ϲ,
ἧχι ἑκάϲτῳ δῶμα / περῑκλυτὸϲ / ¯Ἀμφιγυήειϲ
¯Ἥφαῖϲτο̄ϲ ποίηϲεν / ἰδυίῃϲῑ / πραπίδε̄ϲϲῑν·
Ζεὺϲ δὲ πρὸϲ ὃν λέχοϲ ἤϊ' / Ὀλύμπιοϲ / ἀϲτεροπητήϲ,

C. Bochan, Sydney, December 2005 – For personal use only – No copying or extraction

610. ἔ̄νθα πάρο̄ϲ κοῑμᾶ̄θ', / ὅ̄τε μῑν γλυκὺϲ / ὕ̄πνοϲ ἱκά̄νοῑ·

611. ἔ̄νθα καθη̄‿ῦ̄δ' ἀναβά̄ϲ, / παρὰ δὲ̄ χρῡϲό̄θρονοϲ ¯Ἥρη̄.